# 10 ΣΕΠΤΕΜΒΡΙΟΥ 2023

Κυριακὴ πρὸ τῆς Ὑψώσεως

Μηνοδώρας, Μητροδώρας, Νυμφοδώρας Μαρτύρων, Πουλχερίας Βασιλίσσης τῆς παρθένου

Ἦχος πλ. α΄. Ἑωθινὸν Γ΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

Ἦχος πλ. α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Τὸ Ἀναστάσιμον. Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄.

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὸν τὸ κράτος...*

* * *

## ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν· ὅτι συνήγειρε νεκρούς, ἐκ τῶν μνημάτων ὡς Θεός, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν ᾅδῃ φῶς ἀνέτειλε.

Δόξα.

Κύριε νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον· ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα· ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ᾽ αἰῶνος νεκροὺς ἐξανέστησας. Παντοδύναμε καὶ ἀκατάληπτε, Κύριε δόξα σοι.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυΐδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδού, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστὸς ὁ νέος Ἀδάμ, ἐτέχθη Βασιλεὺς ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον· Ἡ στεῖρα

τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Μετὰ τὴν β΄ Στιχολογίαν

Ἦχος πλ. α΄.

Κύριε, μετὰ τὴν τριήμερόν σου ἀνάστασιν, καὶ τὴν τῶν Ἀποστόλων προσκύνησιν, ὁ Πέτρος ἐβόα σοι· Γυναῖκες ἀπετόλμησαν, κἀγὼ ἐδειλίασα· Ληστὴς ἐθεολόγησε, κἀγὼ ἠρνησάμην σε· ἆρα καλέσεις με τοῦ λοιποῦ μαθητήν; ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ; ἀλλὰ μετανοοῦντά με δέξαι, ὁ Θεὸς καὶ σῶσόν με.

Δόξα.

Κύριε, ἐν μέσῳ σε προσήλωσαν, οἱ παράνομοι τῶν καταδίκων, καὶ λόγχῃ τὴν πλευράν σου ἐξεκέντησαν, ὦ Ἐλεῆμον· ταφὴν δὲ κατεδέξω, ὁ λύσας ᾅδου τὰς πύλας, καὶ ἀνέστης τριήμερος· ἔδραμον γυναῖκες ἰδεῖν σε, καὶ ἀπήγγειλαν Ἀποστόλοις τὴν ἔγερσιν· Ὑπερυψούμενε Σωτήρ, ὃν ὑμνοῦσιν Ἄγγελοι, εὐλογημένε Κύριε δόξα σοι.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν, καὶ νεουργεῖται, ἡ σύμπασα, καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ· αἰνέσατε αὐτήν, αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

* * *

## ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο ἀγγέλου πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (γ΄)

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι ηὐλόγηταί Σου...*

* * *

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

ἡ Ὑπακοή. Ἦχος πλ. α´.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο· Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, τὴν ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

### οἱ Ἀναβαθμοί. Ἦχος πλ. α´.

Ἀντίφωνον Α´.

Ἐν τῷ θλίβεσθαί με δαυϊτικῶς, ᾄδω σοι Σωτήρ μου· Ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς, ζωὴ μακαρία ἐστί, θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε, σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὄν, τῆς Τριάδος ἕν ἐστιν ἀψευστως.

Ἀντίφωνον Β´.

Εἰς τὰ ὄρη ψυχὴ ἀρθῶμεν· δεῦρο ἐκεῖσε, ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ κἀμέ, Χριστὲ ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεολογοῦντες φῶμεν· Σὺ εἶ Θεός, ζωή, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Ἀντίφωνον Γ´.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Εἰς τὰς αὐλὰς προσβῶμεν Κυρίου· χαρᾶς πολλῆς πλησθείς, εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαυΐδ, τὰ φοβερὰ τελεσιουργεῖται· πῦρ γὰρ ἐκεῖ φλέγον, ἅπαντα αἰσχρὸν νοῦν.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχικὴ ἀξία, ἐξ οὗ πᾶν ζῶον ἐμψυχοῦται, ὡς ἐν Πατρί, ἅμα τε καὶ Λόγῳ.

Προκείμενον.

Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. (δίς)

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Ἀνάστηθι Κύριε ὁ Θεός μου...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.*** Κύριε, ἐλέησον. ὁ ἱερεύς· ***Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, …***

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ… πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*** Κύριε, ἐλέησον. (γ´)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.*** ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.***

Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*** ὁ διάκονος· ***Πρόσχωμεν.***

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον

### Ἑωθινὸν Γ´

Ἐκ τοῦ κατὰ Μᾶρκον

(ιστ´ 9-20)

Ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ᾿ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ᾿ αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι, κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾿ αὐτῆς, ἠπί-

στησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾿ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

Ἦχος β΄.

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

***Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...*** Κύριε, ἐλέησον. (ιβ΄) ***Ἐλέει καὶ οἰκτιρμοῖς...*** Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ Ἀναστάσιμος μετὰ τῶν εἱρμῶν καὶ ὁ β΄ τῆς Ἑορτῆς

### Ὠιδὴ α΄.

ὁ Ἀναστάσιμος εἰς δ΄

(ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ)

Ἦχος πλ. α΄. Ὁ Εἱρμός.

Ἵππον καὶ ἀναβάτην, εἰς θάλασσαν Ἐρυθράν, ὁ συντρίβων πολέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον ὕμνον ᾄδοντα.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὲ ἡ ἀκανθηφόρος, Ἑβραίων συναγωγή, οὐ στοργὴν Εὐεργέτα, πρὸς σὲ φυλάξασα μητρικήν, Χριστὲ ἐστεφάνωσε, τὸν γενάρχην λύοντα, τῆς ἀκάνθης τὸ ἐπιτίμιον.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἤγειράς με πεσόντα, τῷ βόθρῳ ἐπικλυσθείς, Ζωοδότα ἀπτώτως· καὶ τῆς ἐμῆς δυσώδους φθορᾶς, Χριστὲ ἀνασχόμενος, ἀπειράστως θείας οὐσίας, μύρῳ με εὐωδίασας.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λέλυται ἡ κατάρα, ἡ λύπη πέπαυται· ἡ γὰρ εὐλογημένη, καὶ Κεχαριτωμένη πιστοῖς, χαρὰν ἐξανέτειλεν, εὐλογίαν πᾶσιν, ἀνθηφοροῦσα Χριστὸν τοῖς πέρασι.

ὁ β΄ Κανὼν τῆς ἑορτῆς

(τοῦ κυρίου Ἀνδρέου)

Ἦχος πλ. δ΄. Τῷ συντρίψαντι πολέμους.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χορευέτω πᾶσα κτίσις, εὐφραινέσθω καὶ Δαυΐδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ, προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν ἁγίῳ ἱερῷ βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου· πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ γεννήσει αὐτῆς.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Στεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ᾽ οὐκ ἄτεκνος Θεῷ· ἤδη γὰρ προώριστο, ἐκ γενεῶν ἁγνῆς Παρθένου Μήτηρ· ὅθεν ὁ τῆς κτίσεως ἐβλάστησε, Κτίστης ἐν δούλου μορφῇ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ τὴν ἄσπιλον ἀμνάδα, τὴν τὸ ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν, πάντες ἐκ τῆς Ἄννης τικτομένην σε, ὕμνοις γεραίρομεν.

Δόξα.

Τρία Ἄναρχα δοξάζω, τρία Ἅγια ὑμνῶ, τρία Συναΐδια, ἐν οὐσιότητι μιᾷ κηρύττω· εἷς γὰρ ἐν Πατρί, Υἱῷ καὶ Πνεύματι, δοξολογεῖται Θεός.

Καὶ νῦν.

Τίς ἑώρακε παιδίον, ὃ οὐκ ἔσπειρε πατήρ, γάλακτι τρεφόμενον; ἢ ποῦ τεθέαται παρθένος Μήτηρ; Ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννῆτορ ἁγνή.

## Ὠιδὴ γ´.

ὁ Ἀναστάσιμος

Ἦχος πλ. α´. Ὁ Εἱρμός.

Ὁ πήξας ἐπ᾽ οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Χολὴν μὲν οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες, τῷ ἐν τῇ ἐρήμῳ τερατουργήσαντι, σοὶ προσενηνόχασι Χριστέ, ὄξος δ᾽ ἀντὶ τοῦ μάννα, εὐεργεσίαν σοι ἠμείψαντο, παῖδες Ἰσραὴλ οἱ ἀγνώμονες.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Οἱ πάλαι φωτοειδεῖ νεφέλῃ σκεπόμενοι, τὴν ζωὴν ἐν τάφῳ Χριστὸν κατέθεντο· ἀλλ᾽ αὐτεξουσίως ἀναστάς, πᾶσι πιστοῖς παρέσχε, τὴν μυστικῶς ἐπισκιάζουσαν, ἄνωθεν τοῦ Πνεύματος ἔλλαμψιν.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ Μήτηρ Θεοῦ ἀσυνδυάστως γεγένησαι, τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος, ἄνευθεν ὠδίνων μητρικῶν· ὅθεν σε Θεοτόκον, σεσαρκωμένον γὰρ ἐκύησας, Λόγον ὀρθοδόξως κηρύττομεν.

καὶ τῆς ἑορτῆς

Ἦχος πλ. δ´. Ἐστερεώθη ἡ καρδία μου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Εὐλογημένη ἡ κοιλία σου σῶφρον Ἄννα· καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν τροφέα τῆς κτίσεως, τεκοῦσαν καὶ λυτρωτὴν Ἰησοῦν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ μακαρίζει Ἀειπάρθενε πᾶσα κτίσις, ἐξ Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ ἀνωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν ἐξ Ἄννης μεγαλύνει σου γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς κτίσεως, τὸν Κτίστην σαρκὶ κυήσασα.

Δόξα.

Σὲ προσκυνοῦμεν Πάτερ ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν.

Καὶ νῦν.

Τὸν φωτοδότην καὶ ἀρχίζωον τῶν ἀνθρώπων, τεκοῦσα ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩιΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα Μεθέορτον

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται, εἰς δόξαν ἡμῶν. Οὐκ ἔτι ὁ Ἀδάμ, κατακρίνεται, ἡ Εὔα τῶν δεσμῶν, ἀπολέλυται, καὶ διὰ τοῦτο κράζομεν βοῶντες, ἐν παῤῥησίᾳ τῇ μόνῃ Ἁγνῇ· Χαρὰν μηνύει, ἡ γέννησίς σου, πάσῃ τῇ οἰκουμένῃ.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩιΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

τὰ Ἀναστάσιμα. Κοντάκιον. Ἦχος πλ. α΄. Μιμητὴς ὑπάρχων.

Πρὸς τὸν ᾄδην Σωτήρ μου συγκαταβέβηκας, καὶ τὰς πύλας συντρίψας ὡς παντοδύναμος, τοὺς θανόντας ὡς κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας, καὶ Ἀδὰμ τῆς κατάρας ἐῤῥύσω Φιλάνθρωπε· διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

ὁ Οἶκος

Ἀκούσασαι αἱ γυναῖκες τοῦ Ἀγγέλου τὰ ῥήματα, ἀπεβάλοντο τὸν θρῆνον, προσχαρεῖς γενόμεναι, καὶ σύντρομοι τὴν ἀνάστασιν ἔβλεπον· καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς, λέγων τό, Χαίρετε· θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐῤῥυσάμην· σπουδάσατε οὖν πρὸς τοὺς Μαθητάς, ἀπαγγέλλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς, ἐν τῇ χώρᾳ Γαλιλαίᾳ τοῦ κηρῦξαι· διὸ πάντες σοι κράζομεν· Σῶσον ἡμᾶς Κύριε.

### Συναξάριον

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων Ἐνδόξων Παρθενομαρτύρων αὐταδέλφων γυναικῶν Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας, ἐν Βιθυνίᾳ μαρτυρησάντων κατὰ τὸ 305 ἔτος ἀπὸ Χριστοῦ. Τούτων αἱ τίμιαι κάραι διασῴζονται τεθησαυρισμέναι τῆς μὲν Μητροδώρας ἐν τῇ Ἱερᾷ Μονῇ Ἀσωμάτων Πετράκη ἐν Ἀθήναις, τῆς δὲ Μηνοδώρας ἐν τῇ Μονῇ Μεγίστης Λαύρας τοῦ Ἄθω, τῆς δὲ Νυμφοδώρας ἐν τῇ Μονῇ Ἁγ.Παύλου τοῦ Ἄθω.

Στίχοι

Ἡγοῦντο Μηνοδώρα καὶ Μητροδώρα,
Καὶ Νυμφοδώρα δῶρα σαρκὸς αἰκίας.
Θεινόμεναι δεκάτῃ δωρώνυμοι ἔκθανον αἱ τρεῖς.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ὁσία Πουλχερία, ἡ εὐσεβεστάτη Βασίλισσα καὶ παρθένος, κτιτόρισσα γενομένη τῶν Μονῶν Ξηροποτάμου καὶ Ἐσφιγμένου ἐν Ἄθῳ, ἔτι δὲ καὶ τοῦ Ναοῦ τῶν Βλαχερνῶν ἐν Κωνσταντινουπόλει, μεριμνήσασα μετὰ ζήλου καὶ διὰ τὴν σύγκλησιν τῆς Γ΄ καὶ Δ΄ Οἰκουμενι-κῆς Συνόδου, ἐν εἰρήνῃ τελειοῦται κατὰ τὸ ἔτος 453 ἀπὸ Χριστοῦ.

Στίχοι

Ὄντως παρέστη ψαλμικῶς Πουλχερία,
Ἐκ δεξιῶν σου Βασίλισσα, Χριστέ μου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Ἐνδόξων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα Ἀπελλοῦ Ἐπισκόπου Σμύρνης, Λουκίου Ἐπισκόπου Λαοδικείας τῆς Συρίας καὶ Κλήμεντος Ἐπισκόπου Σάρδεων.

Στίχοι

Λουκᾶς ὁ θεῖος σὺν Ἀπελλῇ καὶ Κλήμει,
Ἀπόστολοι σύνεισι τοῖς Ἀποστόλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐφροσύνου τοῦ Νέου τῆς Μονῆς Κηπουραίων

ἐν Κεφαλληνίᾳ, τοῦ Πυλαρινοῦ-Μαρκαντωνάτου, ἐν ἔτει 1811 εἰρηνικῶς τελειωθέντος.

Στίχοι

Εὐφρόσυνος θεῖος μυρίπνοον ἔχει τὸν βίον πάντα,
Μυρίζοντα ἅμα τοῖς θαυμασίοις τῶν ἀρετῶν του.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Ὁσιομάρτυρος Βαρυψαβᾶ.

Στίχοι

Βαρυψαβᾶς δι᾽ Αἷμα θεῖον Δεσπότου,
Οἰκεῖον αἷμα συντριβεὶς ξύλοις χέει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Ἐνδόξου Μάρτυρος Ἴας, ἥτις ξίφει ἐτελειώθη.

Στίχοι

Ἐκ γῆς ἐκάρθη κοιλάδων Ἴα ξίφει
Καὶ Σοί προσήχθη, Σῶτερ, ὡς εὔπνουν ἴον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίας Εὐδοκίας τῆς παιδός τῆς βασιλογόνου, ὁσιακῶς ἀσκησάσης καὶ κοιμηθείσης ἐν εἰρήνῃ ἐν Ἱεροσολύμοις.

Στίχοι

Εὔδοξον σχοῦσα τὴν γνώμην, Εὐδοκία,
Ἐν Σιὼν ηὐδόκησας ἀσκήσει μεῖναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Παύλου τοῦ Ῥώσου, τέκνου τῆς ὑπακοῆς ἐν τῇ Λαύρᾳ τῶν Σπηλαίων τοῦ Κιέβου, κατὰ τὸν 13ον αἰῶνα διαλάμψαντος.

Στίχοι

Λόγον τῷ Πατρὶ ὑπακούσαντα, Παῦλε,
Μιμησάμενος, ὑποτακτικὸς λέγῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἰωάσαφ τοῦ πρίγκηπος, ἀσκήσαντος ἐν τῇ ἱερᾷ Μονῇ Σωτηρόπετρας παρὰ τὴν λίμνην Κουμπένσκ.

Στίχοι

Φθαρτῆς ἀλογήσας δόξης, Ἰωάσαφ,
Δόξης τῆς ἀφθάρτου τρυφᾷς αἰωνίως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἡσαΐου, τοῦ κομίσαντος εἰς Κύπρον τὴν θαυματουργὸν εἰκόνα τῆς Ἐλεούσης Θεοτόκου καὶ ἐγείραντος τὴν τοῦ Κύκκου Μονήν.

Στίχοι

Κύκκου σεμνείου, Ἡσαΐα, δομῆτορ,
Ἐν δόμοις ἄνω σὺν τῇ Πανάγνῳ χαίρεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς εὑρέσεως τῆς σεπτῆς Εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου ὑπὸ τὴν ῥίζαν ἐλαίας ἐν τῇ Νήσῳ τῶν Τρικκέρων ἐν τῷ Παγασητικῷ Κόλπῳ τῆς Μαγνησίας κατὰ τὸ ἔτος 1825. Ἔτι δὲ καὶ μνήμη ἱερὰ καὶ εὐγνώμων τοῦ γενομένου θαύματος ἐν Ὀρχομενῷ κατὰ τὸ ἔτος 1943, ὅτε ἡ Πανάχραντος Κόρη καὶ τοῦ κόσμου Δέσποινα, Πρέσβειρα καὶ Σκέπη τοῦ φιλοχρίστου ἡμῶν λαοῦ, ἡ ἐν τῇ παλαιφάτῳ Μονῇ Σκριμποῦ τιμωμένη καὶ προσκυνουμένη, ἐξαισίως κατέπληξε τοὺς δυνάστας, βουλευομένους τὴν ὁλοσχερῆ καταστροφὴν τῆς πόλεως, ἀκινητοποιήσα-σα τὰ ἅρματα αὐτῶν καὶ δι᾽ὁράματος ἐμφανῶς ἀπειλήσασα καί παρεμποδίσασα τούτους.

Στίχοι

Εἰκὼν ἡ θεία τῆς Πανάγνου τῷ κόσμῳ,
Ὀφθεῖσα δωκε, νῦν χάριν θαυμάτων.
Ὀρχομενὸς σέσωσται τῇ χάριτί Σου,
Ὅθεν τὰ σῶστρά σοι προσάγει, Παρθένε.

Τῇ Κυριακῇ πρὸ τῆς τοῦ Τιμίου Σταυροῦ Ὑψώσεως, μνήμην ἐπιτελοῦμεν τῶν ἑκατοντάδων χιλιάδων ἐνδόξων Νεομαρτύρων, Ἱεραρχῶν, Ἱερέων, Ἱερομονάχων καὶ Μοναχῶν, προσέτι δὲ

Ἀν-δρῶν, Γυναικῶν καὶ Παιδίων, τῶν ἐν Μικρᾷ Ἀσίᾳ μαρτυρησάντων κατὰ τὰ ἔτη 1918-1922. Μὲ ὕπατον Ἱερομάρτυρα τὸν Ἅγιον Χρυσόστομον Σμύρνης.

ἢ

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Χρυσοστόμου τοῦ νέου, ἐπισκόπου Σμύρνης, μαρτυρήσαντος αὐτόθι ὑπὲρ πίστεως καὶ πατρίδος, ἐν ἔτει αϡκβ΄ (1922). Ἔτι δὲ καὶ μνήμη τῶν ἐν Μικρασίᾳ καὶ τῇ καθ᾽ ἡμᾶς Ἀνατολῇ μαρτυρησάντων ἁγίων ἱεραρχῶν· Γρηγορίου ἐπισκόπου Κυδωνιῶν, Ἀμβροσίου ἐπισκόπου Μοσχονησίων, Προκοπίου ἐπισκόπου Ἰκονίου, καὶ Εὐθυμίου ἐπισκόπου Ζήλων, καὶ τῶν σὺν αὐτοῖς ὑπὸ τῶν πολεμίων ἀναιρεθέντων καὶ τελειωθέντων ἱερέων, καὶ πάντων τῶν ἀπὸ τοῦ ἱεροῦ Κλήρου καὶ τοῦ φιλοχρίστου στρατοῦ καὶ τοῦ πιστοῦ καὶ ὀρθοδόξου λαοῦ θυμάτων, «ἐκ τῆς θλίψεως τῆς μεγάλης» ἐκείνης.
Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἀναριθμήτων νεομαρτύρων, ἀγνώστων καὶ ἀφανῶν, ἀνδρῶν, γυναικῶν καὶ παιδίων, ἀποκαρτερησάντων ἐν τῷ Παμμικρασιατικῷ διωγμῷ.

Στίχοι

Τιθεὶς ψυχὴν Χρυσόστομος ὁμοῦ συμμύσταις,
λαοῦ καὶ στρατοῦ τε ἀπαρχὴ προσηνέχθη.
Πρωτομάρτυς Χρυσόστομος ἀποφράδι ἐτύθη,
συνάθλων πληθύος ἑπομένης τῷ πότμῳ.
Νέοι Μάρτυρες ἐκ τῆς Μικρᾶς Ἀσίας,
Ὤφθησαν πλῆθος ἐκ χειρῶν τέκνων Ἄγαρ.
Στίφος νεόλεκτον ἱερῶν μαρτύρων,
Ἀιδω Ἰωνίας σὺν Ποιμέσιν ἄρνας.
Πληθὺς τῶν νεάθλων θώκῳ θεοῖο πάρα ἔστη.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ἢ

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, ἐξαιρέτως δὲ τῆς Πανυμνήτου Θεοτόκου μεσιτείαις καὶ ἀκαταμαχήτοις προστασίαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

### Ὠιδὴ α΄. Ἦχος πλ. δ΄.

Σταυρὸν χαράξας Μωσῆς ἐπ᾽ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ᾽ εὔρους διαγράψας τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

### Ὠιδὴ γ΄.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρῴην Ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον Σταυροῦ ...

...εἰς κράτος καὶ στερέωμα.

### Ὠιδὴ δ΄.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν θεότητα.

### Ὠιδὴ ε΄.

Ὢ τρισμακάριστον Ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ βασιλεὺς καὶ Κύριος· δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

### Ὠιδὴ ϛ΄.

Νοτίου θηρὸς ἐν σπλάγχνοις παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

### Ὠιδὴ ζ΄.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ᾽ ἀντηχοῦντι

δροσοβόλῳ πνεύματι πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ὠιδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε, παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

ὁ διάκονος· ***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.***

## Η ΩΙΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος πλ. δ΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Καταβασία. Ὠιδὴ θ΄.

Μυστικῶς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν σὲ μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...***

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ,

… ὅτι ἅγιός ἐστιν.

Ἀναστάσιμον Ἐξαποστειλάριον Γ΄.

Ὅτι Χριστὸς ἐγήγερται, μή τις διαπιστείτω· ἐφάνη τῇ Μαρίᾳ γάρ, ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι· μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα· οὓς βαπτίζειν ἐκπέμψας, εἰς οὐρανούς, ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν σημείων.

καὶ τὸ μεθέορτον

Ἦχος γ΄. Ὁ γλυκασμός.

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, ὁ φωτισμὸς τῶν ἀνθρώπων, ἡ προστασία τοῦ κόσμου, Θεογεννῆτορ Μαρία, τοὺς σὲ ὑμνοῦντας ἐν πίστει, ῥῦσαι πταισμάτων Παρθένε.

* * *

## ΑΙΝΟΙ

Ἦχος πλ. α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Ἀναστάσιμα. Ἦχος πλ. α΄.

Στίχ. α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι· οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται· ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι· πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον· ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Στίχ. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαῤῥήξας, τοῦ μνήματος ἀνέστης, καταλιπών σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς, τριημέρου ταφῆς σου· καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ! Ἐλέησον ἡμᾶς.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι᾽ ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος· εἴπατε τοῖς Μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων, πρὸς τοὺς Μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας. Ὡς ἐκ σπέρματος Δαυῒδ, μώλωπας ὑπήνεγκας, ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, κόσμον ἠλευθέρωσας. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ! Ἐλέησον ἡμᾶς.

καὶ τῆς ἑορτῆς γ΄ εἰς δ΄

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Στίχ. ε΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται· ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. Εὐφραίνου Ἰωακείμ, τῆς Θεοτόκου γεννήτωρ γενόμενος· οὐκ ἔστιν ἄλλος ὡς σύ, τῶν γηγενῶν γεννητόρων θεόληπτε· ἡ γὰρ θεοδόχος Κόρη, τοῦ Θεοῦ τὸ σκήνωμα, τὸ πανάγιον ὄρος, διὰ σοῦ ἡμῖν δεδώρηται.

Στίχ. ϛ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Ὢ τοῦ παραδόξου θαύματος! …

Στίχ. ζ΄. Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλίνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴ-

κου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ἐκ στείρας καρπός, ἀναλάμψας νεύματι, τοῦ πάντων Δημιουργοῦ, καὶ παντοκράτορος, εὐτόνως τὴν κοσμικήν, τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν. Μητέρες σὺν τῇ Μητρί, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Στίχ. η΄. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Στήλη σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι, ἡ Ἄννα ἡ εὐκλεής, φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπάνθισμα, τὴν πάσαις παρθενικαῖς, καὶ παρθενίας ποθούσαις τὸ χάρισμα, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσιν, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Δόξα. Ἑωθινὸν Γ΄. Ἦχος γ΄.

Τῆς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐκ νεκρῶν ἀνάστασιν καὶ ἐμφάνειαν, διαπιστοῦντες οἱ Μαθηταί, ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν· ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες καὶ θαύμασι, πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο. Καὶ σὺ μὲν Κύριε, πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης Πατέρα· οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον, τοῖς θαύμασι πιστούμενοι. Διὸ οἱ φωτισθέντες δι᾽ αὐτῶν, δοξάζομέν σου, τὴν ἐκ νεκρῶν ἀνάστασιν, φιλάνθρωπε Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅιδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

* * *

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα. Καὶ νῦν.
Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ τὸ ἀναστάσιμον τροπάριον. Ἦχος β΄.

Ἀναστὰς ἐκ τοῦ μνήματος καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου, Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· ἐμφανίσας σεαυτὸν τοῖς ἀποστόλοις σου ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα καὶ δι᾽ αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε.

ἢ
τὸ ἕτερον ἀναστάσιμον τροπάριον. Ἦχος δ΄.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα τῆς Ἑορτῆς

Ἀντίφωνον Α΄. Ἦχος β΄. (Ψαλμὸς ρλα΄)

Στίχ. α΄. Μνήσθητι Κύριε τοῦ Δαυῒδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. γ΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. δ΄. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. α΄. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ Ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β΄. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ Ἀναστάς ...

Στίχ. γ΄. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ Ἀναστάς ...

Στίχ. δ΄. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ Ἀναστάς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέ-

ραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος δ΄.

Στίχ. α΄. Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.

τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς. Ἦχος δ΄.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Στίχ. β΄. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.
Ἡ γέννησίς σου Θεοτόκε...

Στίχ. γ΄. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.
Ἡ γέννησίς σου Θεοτόκε...

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν…
… ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος πλ. α΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς. Ἦχος δ΄.

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Εἶτα τὸ ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τοῦ Γενεσίου τῆς Θεοτόκου.

(Ψάλλεται ἀπὸ κδ΄ Αὐγούστου ἕως ιβ΄ Σεπτεμβρίου πλὴν τῆς λα΄ Αὐγούστου καὶ τῆς α΄ καὶ ζ΄ Σεπτεμβρίου)

Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου ἠλευθερώθησαν, ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

## ΑΠΟΣΤΟΛΟΣ

τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως

(ζήτει τῇ ΚΒ΄ Κυριακῇ)

Προκείμενον. Ἦχος πλ. β΄. (Ψαλμὸς κζ΄)

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Γαλ. στ´ 11-18)

Ἀδελφοί, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

Ἀλληλούϊα. (γ´)

Ἦχος α´. (Ψαλμὸς πη´)

Στίχ. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

Στίχ. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ.

* * *

## ΕΥΑΓΓΕΛΙΟΝ

Τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως

Ἐκ τοῦ κατὰ Ἰωάννην

(γ´ 13-17)

Εἶπεν ὁ Κύριος· Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἰ. Χρυσοστόμου**

* * *

Εἰς τό· *Ἐξαιρέτως...*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β´.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἰς τό· *Πάντοτε, νῦν καὶ ἀεί...*

Ἦχος β´.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· *Ὁ ἀναστὰς ἐκ νεκρῶν...*

Δι᾽ εὐχῶν... Ἀμήν.

* * * * *


**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**

**καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**

**http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**

**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**


Παράρτημα Μηνολογίου:

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πέτρου Ἀρχιεπισκόπου Νικαίας, κατὰ τὸ 823 μετὰ Χριστὸν ὁσίως τελευτήσαντος.

Ἔτι δὲ καὶ σήμερον συνέπεσε κατὰ τὸ 1968 ἡ ὁσιακὴ κοίμησις Τύχωνος τοῦ Ἀθωνίτου τοῦ Ῥώσου καὶ Ἐρημίτου, ἐν τῇ περιοχῇ Καψάλα τοῦ Ἁγίου Ὄρους, Γέροντος γενομένου τοῦ μακαριστοῦ Παϊσίου, ὃς καὶ συνέγραψε δι᾽ ὀλίγων τὸν βίον καὶ τὴν θεοφιλῆ ἄσκησιν αὐτοῦ.

Στίχοι

Ὡς ἁπλοῦς καὶ ταπεινός, Ὑψίστου δόξης,
Ἠξιώθης Τύχων, πολιστὰ ἐρήμου.

Τῇ αὐτῇ Κυριακῇ πρὸ τῆς Ὑψώσεως, συμφώνως τῇ ὑπ᾽ ἀριθμὸν 2556/5.7.1993 ἐγκυκλίῳ τῆς Ἱ. Συνόδου, μνήμην ἐπιτελοῦμεν τῶν μητροπολιτῶν καὶ ἐθνομαρτύρων Χρυσοστόμου Σμύρνης, Ἀμβροσίου Μοσχονησίων, Γρηγορίου Κυδωνιῶν, Προκοπίου Ἰκονίου, Εὐθυμίου Ζήλων καὶ τῶν σὺν αὐτοῖς ἀναιρεθέντων κατὰ τὴν μικρασιατικὴν καταστροφὴν μαρτύρων (1922). Ἡ ἀκολουθία αὐτῶν (ποίημα τοῦ ἀειμνήστου Μητροπολίτου Πατρῶν κυροῦ Νικοδήμου) ὑπάρχει ἐν ἰδιαιτέρᾳ φυλλάδι.

[ἐν δὲ τῇ Σερβίᾳ] Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρὸς τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ, Σύναξις ἐπιτελεῖται πάντων τῶν Σέρβων Ἁγίων.

## Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

Ἀπολυτίκιον τῶν Παρθενομαρτύρων.

Ἦχος α΄. Τοὺς τρεῖς μεγίστους φωστῆρας.

Τὰς τρεῖς ἐνδόξους Παρθένους καὶ Ἀθληφόρους θεόφρονας, τὰς συνδεδεμένας ἐνθέως, ἀδελφικῇ οἰκειότητι, τὰς καλλιρόους πηγὰς τῆς εὐσεβείας, τὰς ἀναβλύζουσας, μαρτυρικῶν ἀγώνων χάριν ἀενάον, τὴν θείαν Μηνοδώραν, καὶ τὴν Μητροδώραν τὴν ἔνδοξον, σὺν τῇ κλυτῇ Νυμφοδώρᾳ, τῇ ἐν πᾶσι καρτερόφρονι, πάντες οἱ τρυφῶντες τῶν ἄθλων αὐτῶν, συνδραμόντες ὕμνοις τιμήσωμεν· αὐταὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Ἕτερον Ἀπολυτίκιον τῶν Μαρτύρων.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Μαρτύρων τρισάριθμον, χορείαν σήμερον, πιστῶς εὐφημήσωμεν, ἀμνάδων θείων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, αὗται γὰρ τῆς Τριάδος ὑπερήθλησαν ἄμφω, ὅθεν καὶ τοὺς στεφάνους ἐκομίσαντο πίστει, αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον τῶν Μαρτύρων.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν τρισάριθμον σύλλογον καὶ θεόπλοκον, τῶν αὐταδέλφων Παρθένων στέψωμεν θείαις ᾠδαῖς· ἀνδρικῶς γὰρ τὸν ἐχθρὸν κατετροπώσαντο· ὅθεν προΐστάνται ἡμῶν, τῶν βοώντων ἐκτενῶς· χαῖρε σεμνὴ Μηνοδώρα, σὺν Μητροδώρᾳ τῇ θείᾳ, καὶ Νυμφοδώρᾳ τῇ θεόφρονι.

Ἀπολυτίκιον τῆς Ὁσίας Πουλχερίας.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ὡραιότητα, τῆς σωφροσύνης σου, καὶ τὸ ὑπέρλαμπρον, τῆς εὐσεβείας σου, πᾶς συνετὸς κατανοῶν, ἐκπλήττεται Πουλχερία. Πῶς εἰς τὰ βασίλεια, παρθενίαν ἐφύλαξας, πῶς δὲ τὸν ἀρχέκακον, ὄφιν μόνη κατήργησας. Διό σε εὐφημοῦντες βοῶμεν· δόξα Θεῷ τῷ ἐν Τριάδι.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῇ θείᾳ λαμπρότητι Ἁγίου Πνεύματος, τὸ σκότος ἐδίωξας τῶν κακοδόξων σεμνή, Πουλχερία ἀοίδιμε, ἤρθης πρὸς εὐσεβείας, καθαρότατον ὕψος, ἤστραψας τὰς ἀκτῖνας, ὀρθοδόξων δογμάτων, εἰς ἄδυτον φῶς τῆς Βασιλείας Χριστοῦ σκηνώσασα.

Ἀπολυτίκιον Ὁσίου Εὐφροσύνου τῶν Κηπουραίων.
(Νικολάου Καλοσπύρου)
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Κηπουραίων τὸ ἄνθος, μοναζόντων τὸν σύνδημον, τῆς ἀγγελικῆς πολιτείας τὸν ἐργάτην τὸν ἔνθεον, αἰνέσωμεν Εὐφρόσυνον πιστοί, μιμούμενοι αὐτοῦ τὰς ἀρετάς, ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς πρὸς αὐτὸν κραυγάζουσι· Δόξα τῷ σε δοξάσαντι Χριστῶ, δόξα τῷ σε χαριτώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἀπολυτίκιον Ὁσίου Ἡσαΐου τῆς Μονῆς Κύκκου.
(Χαραλάμπους Μπούσια)
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον

Ἀσκητὴν τοῦ Τροόδους τὸν ἐνθεώτατον, καὶ τῆς ἁγνῆς Κυκκωτίσσης τῆς περικλύστου μονῆς, Ἡσαΐαν τὸν δομήτορα τιμήσωμεν, ὅτι αὐτοῦ τῇ προτροπῇ, μετηνέχθη ἡ μορφὴ εἰς Κύπρον τῆς Ἐλεούσης, μεθ᾽ ἧς Κυρίῳ πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τῆς Κυκκωτίσσης.

Τὴν ἁγίαν μορφήν σου κατασπαζόμενοι, ἥνπερ ἱστόρησε πόθῳ ὁ χριστοκῆρυξ Λουκᾶς, Ἐλεοῦσα, θαυματόβρυτε Κυκκώτισσα, χάριν αἰτούμεθα τὴν σήν, καὶ ταχεῖαν ἀρωγήν, ἐν θλίψεσι καὶ κινδύνοις· σὺ γὰρ ὑπάρχεις Κυπρίων, καὶ Ὀρθοδόξων πάντων καύχημα.

Ἀπολυτίκιον Παναγίας Τρικκέρων.
(ποίημα Βενιαμὶν Ἀρχιερέως)
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πιστοὶ νῦν σκιρτήσωμεν ἐπὶ τῇ χάριτι, τῇ αὖθις δοθείσῃ ἡμῖν, παρὰ τῆς θείας Μορφῆς εὐσπλάγχνου προστάτιδος πάντων τῶν ὀρθοδόξων καὶ χαρᾷ εὐφημοῦντες, ᾄσωμεν τῇ Κυρίᾳ εὐσεβῶς προσφωνοῦντες· δόξα σοι, Κοσμοσώτειρα Κόρη πανύμνητε.

Ἀπολυτίκιον Παναγίας Ὀρχομενοῦ.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὴν θερμήν σου Παρθένε προστασίαν κηρύττομεν, καὶ χαριστηρίους ᾠδάς σοι κατὰ χρέος προσάδομεν· σὺ γὰρ ἐπισκοπῇ σου θαυμαστῇ, διέσωσας ἐχθρῶν ἐπιδρομῆς, τὴν σὴν πόλιν Θεοτόκε Ὀρχομενόν, πανευλαβῶς βοῶσάν σοι· δόξα τῇ ἀντιλήψει σου Ἁγνή, δόξα τῇ προστασίᾳ σου, δόξα τῇ πρὸς ἡμᾶς σου συμπαθείᾳ Ἄχραντε.

Ἀπολυτίκιον ἕτερον.
(ποιηθὲν ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Θηβῶν καὶ Λεβαδείας Συνεσίου)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Λαὸς Ὀρχομενίων ἐν ᾠδαῖς εὐφημήσωμεν, ἡμῶν τὴν Πολιοῦχον καὶ τοῦ κόσμου προστάτιδα· πηγὴ γὰρ τῶν θαυμάτων νῦν ἡμῖν, ἡ πάνσεπτος ἀναδέδεικται Εἰκὼν τῆς ἀχράντου Θεοτόκου· διόπερ ἅπαντες ταύτῃ ἀναβοήσωμεν· Χαῖρε τῶν Σὲ τιμώντων ἡ ἐλπίς· Χαῖρε ἡμῶν τὸ κραταίωμα· Χαῖρε ἡ τοῦ πυρὸς τὸν Ὀρχομενόν, ἀπαλλάξασα.

### Ἀπολυτίκιον ἕτερον.

(ἀνευρεθὲν ἐν τῇ Ἱερᾷ Μονῇ Ἁγίου Νικολάου Λεμονίων Σαλαμῖνος)

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐν ἐσχάτῃ ἀνάγκῃ ἡμᾶς διέσωσας, ἐμφανισθεῖσα Παρθένε τοῖς ἐπελθοῦσιν ἐχθροῖς· διὰ τοῦτο πανοικὶ εὐχαριστοῦμέν σοι. Χαῖρε βοῶντές σοι πιστῶς, Θεοτόκε Μαριάμ, Ὀρχομενοῦ προστασία· ὃν καὶ μελλόντων κινδύνων τῇ ἀντιλήψει σου διάσῳζε.

### Ἀπολυτίκιον ἕτερον

(ποιηθὲν ὑπὸ τοῦ αἰδεσιμωτάτου πρωτοπρεσβυτέρου π. Μάρκου Ἀρμακόλα)

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὑπέρμαχος ἄριστος Ὀρχομενίου λαοῦ, ἐδείχθης Πανάμωμε, τὰς τῶν ἐχθρῶν μηχανὰς εἰς τέλματα στήσασα· ἔδειξας ὅτι ἰσχύει τῶν Ἑλλήνων ἡ πίστις, ἔδειξας ὅτι ὑπάρχεις τῆς φυλῆς ἡμῶν Προστάτις· δι᾽ ὅ σε καὶ τιμῶμεν ἀεὶ Θεομακάριστε.

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος Χρυσοστόμου Μητροπολίτου Σμύρνης.

(ποίημα Λεωνίδου Φιλιππίδου)

(χρηματίσαντος ἰδιαιτέρου γραμματέως τοῦ ἐθνομάρτυρος Ἱεράρχου Σμύρνης Χρυσοστόμου, ἐγράφη δὲ καὶ ἐδημοσιεύθη πρωΐμως)

### Ἦχος γ΄. Θείας πίστεως.

Μέγαν μάρτυρα ἡ Ἐκκλησία, μέγαν ἥρωα τὸ ἔθνος σύμπαν, τὸν τῆς Σμύρνης ὑμνοῦμεν Χρυσόστομον. Καὶ γὰρ γενναίως ἀθλήσας ὑπέμεινεν ὑπὲρ πατρίδος καὶ πίστεως θάνατον· Ἱεράρχου τε ὑπόδειγμα ἑαυτὸν ἀνέδειξε τὸν στέφανον λαβὼν τὸν ἀμαράντινον.

### Ἕτερον Ἀπολυτίκιον.

(ποίημα ἱερέως Νικολάου Ἀβούρη, ἱεροκήρυκος Ἱερᾶς Μητροπόλεως Ζακύνθου)

(συνετέθη ἐπὶ τῇ πρώτῃ σκέψει καὶ προτάσει τῆς εἰς ἅγιον ἀνακηρύξεως τοῦ ἱεροῦ ἀνδρός, 1929)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀθλητῶν σε τὸ κλέος καὶ τῆς Σμύρνης τὸν πρόεδρον, τῆς Ὀρθοδοξίας φρουρόν τε, σὲ τιμῶμεν Χρυσόστομε. ἐδείχθης γὰρ σύ, Πάτερ, ἐν αὐτῇ ποιμὴν πανάριστος καὶ ἄξιος ὑπὲρ ποίμνης θυσιάσας ζωὴν καὶ βίον, πανεύφημε. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ. Δόξα τῷ σὲ ἐνισχύσαντι. Δόξα τῷ ἀναδείξαντι ἡμῖν Μάρτυρα μέγιστον.

### Τῶν Ἁγίων Νεομαρτύρων τῆς Μικρασίας.

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Στρατιὰν ἀθλοφόρων ὀρθοδόξως τιμήσωμεν, τῶν λαμπαδουχούντων τοῦ Γένους τὴν ψυχὴν νέοις ἔτεσι. Σεπτῶν Ἱεραρχῶν παρεμβολήν, σὺν στίφει Ἱερέων θεαυγεῖ, καὶ ἁπάντων συνοδείαν ἀρτιφανῆ, μαρτύρων ἀναμέλποντες· Χαίροις τῆς Μικρασίας προμαχών, χαίροις πατρίδος καύχημα, χαίροις τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, θεῖον ἀγλάϊσμα.

### Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸν Σμύρνης Χρυσόστομον, ἀνευφημοῦμεν πιστῶς, καὶ μύστην Ἀμβρόσιον, Μοσχονησίων ταγόν, καὶ θεῖον Γρηγόριον· Χαίρετε ἐκβοῶντες, Αἰολίδος τὸ κλέος, σύμπασιν Ἱεράρχαις, ἱερεῦσι καὶ σμήνει, κλεινῶν Νεομαρτύρων Χριστοῦ, γνωστῶν ἀνωνύμων τε.

### Ἕτερον. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σμύρνης τὸν Πρόεδρον, ὕμνοις τιμήσωμεν, θεῖον Χρυσόστομον καὶ τὸν Γρηγόριον, Κυδωνιέων φωτισμόν, καὶ μύστην Μοσχονησίων, ἔκλαμπρον Ἀμβρόσιον, νεοθύτῳ στρατεύματι, τῶν

Μαρτύρων χαίρετε, ἐκβοῶντες ἀνώνυμοι, γνωστοί τε Ἰωνίας φωστῆρες, Γένους αἱ νέαι φρυκτωρίαι.

### Ἀπολυτίκιον τοῦ Χρυσοστόμου Σμύρνης.

(Χαραλάμπους Μπούσια)

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐκκλησίας τῆς Σμύρνης φωσφόρε Ἄγγελε, ἱερομάρτυς γενναῖε, ὁ ἐξορίας δεινὰς ὑπομείνας καὶ μαρτύριον κατώδυνον ὑπὲρ ποιμνίου σου καλῶς, ἀρχιθῦτα Δραμινῶν καὶ πρόεδρε Ἰωνίας, Χριστὸν ἡμῖν ἐκδυσώπει τοῖς εὐφημοῦσί σε, Χρυσόστομε.

### Ἀπολυτίκιον τοῦ Ὁσίου Εὐφροσύνου τοῦ μαγείρου.

(Ἀθανασίου Σιμωνοπετρίτου)

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως ἐβίωσας, ἐν ταπεινώσει πολλῇ, καὶ πόνοις ἀσκήσεως, καὶ ἀκακίᾳ ψυχῆς, Εὐφρόσυνε ὅσιε· ὅθεν τὴν οὐρανίαν, εὐφροσύνην ἣν εὗρες, ἔδειξας παραδόξως, μυστικῇ ἐμφανείᾳ, ἧς καὶ ἡμᾶς μετόχους, πρεσβείαις σου ποίησον.

### Ἕτερον Ἀπολυτίκιον.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ταπεινώσει καρδίας, πάτερ Εὐφρόσυνε, τῷ μαγειρείῳ προσφέρων διακονίαν τὴν σήν, ἐπληρώθης ἀληθῶς Ἁγίου Πνεύματος· ὅθεν σὴν δόξαν ὁ Θεός, ἐφανέρωσεν ἡμῖν, δι᾿ ἱερέως ὁσίου, καὶ νῦν ἡμᾶς Θεοφόρε, δεῖξον μετόχους ταῖς πρεσβείαις σου.

### Ἕτερον Ἀπολυτίκιον.

(Χαραλάμπους Μπούσια)

### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εὐφροσύνης καὶ θείας μακαριότητος, ἧς ἀπολαῦσαι ἐν πόλῳ κατηξιώθης, σεπτέ, ταπεινώσεως κειμήλιον, Εὐφρόσυνε, δι᾿ ἐμφανείας μυστικῆς παραδόξως ἱερεῖ κατέδειξας· ὅθεν πάντας τοὺς σὲ τιμῶντας μετόχους αὐτῆς ἀνάδειξον πρεσβείαις σου.